Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

Cap. VIII.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

tus perpetravit, cùm famulum suum quasi quendam invictū militem, in medium produxisset. Gaudet enim Imperator noster ob eximiam pietatem, Dei famulus appellari. Quem quidem Deus omnium cujusq; generis hostium victorem præstitit, cùm illum solum contra plurimos excitasset. Nam illi quidem erant innumerabiles; multique, utpote multorum dæmonum amici. Immo verò nihil erant; ideoq; in præsentia nihil sunt. Hic autem unus ex uno Imperator, unius Dei summi omnium Imperatoris effigiem gerit. Illi animis impiis præditi, pios viros cruentis cædibus sustulerunt: hic Servatoris sui exemplum imitatus: nec quidquam aliud quam servare homines callens, ipsos etiam impios servavit, ad veram pietatem eos instituens. Deinde verò, utpote reverà Victor, duplex illud Barbarorum genus superavit: homines quidem ipsos Barbarica feritate præditos, prudentibus legationibus mansuefaciens, cogensq; potioribus sese submittere, & ab illegitima ac belluina vivendi ratione eos ad civilem humanioremque traducens. Illud verò crudele atque efferatum invisibilium dæmonum genus, rebus ipsis convincens, jampridem à Deo fuisse superatum. Nam communis quidem omnium Servator, invisibiles spiritus invisibili quadam virtute profligaverat. Hic verò tanquam summi Imperatoris Legatus, victos persecutus est: eos qui jamdudum mortui consumptiq; essent, spolians: & Victoris Dei militibus manubias abundè distribuens.

Cap. VIII. Nam cùm imperitam hominum multitudinem instar infantium, hujusmodi erroris larvas ex auro argentóque fabrefactas frustrà expavescere intelligeret, eas è medio tollendas esse censuit: quippe quæ velut offendicula quædam essent, ante hominum in tenebris incedentium pedes projecta, planumq; deinceps & æquabile iter viæ regiæ cunctis esse aperiendum. Quæ cùm apud se reputasset, non militum manu, nec exercituum multitudine ad hæc reprimenda sibi opus esse existimavit: sed unus & alter ex familiaribus, ad hoc munus obeundum ei suffecit: quos ille solo duntaxat nutu in omnes provincias direxit. At illi tum Imperatoris pietate, tum sua ipsorum erga Deum religione confisi, per confertissimas hominum turbas & per numerosam plebem transeuntes, passim per urbes & agros vetusti erroris latebras pervellerunt. Ac primùm quidem Sacerdotes ipsos non sine risu ac dedecore ex obscuris quibusdam recessi-

A μέγας βασιλεὺς οὐρανόθεν ἀνήγειρε, ὑπὸ ἄμαχον τὸν αὐτοῦ θεράποντα προστησάμενος· χαίρει γὰρ ὧδε προσφωνούμενος εὐσεβείας ὑπερβολῇ βασιλεύς. ὃν δὴ νικητὴν παντὸς τοῦ τῶν πολεμίων ἀπέφηνε γένους, ἕνα κατὰ πολλῶν ἐγείρας· οἱ μὲν γὰρ ἦσαν μυρίοι πολλοί τε πολλῶν ἅτε δαιμόνων φίλοι, μᾶλλον δὲ οὐδὲν ἦσαν, ὅθεν οὐδ' εἰσίν· ὁ δ' εἷς ἐξ ἑνὸς βασιλεύς, εἰκὼν ἑνὸς τοῦ παμβασιλέως. κἀκεῖνοι μὲν, ἀθέῳ ψυχῇ, τοὺς εὐσεβεῖς ἄνδρας

B μιαιφόνοις ἀνῄρουν σφαγαῖς· ὁ δὲ, τὸν αὐτοῦ σωτῆρα μιμούμενος, καὶ μόνον σώζειν εἰδὼς, καὶ τοὺς ἀθέους ἔσωζεν εὐσεβεῖν διδάσκων. εἶτα ὡς νικητὴς ἀληθῶς, τὸ διττὸν ἐκεῖνο βαρβάρων ἐνίκα γένος. ἀνδρῶν μὲν τὰ ἀνήμερα φῦλα λογικαῖς ἐξημερῶν πρεσβείαις, καὶ τοὺς κρείττονας εἰδέναι καὶ μὴ ἀγνοεῖν ἐπαναγκάζων, ἐξ ἀνόμου τε καὶ θηριώδους βίου, ἐπὶ λογικὸν καὶ νομικὸν μεθαρμοζόμενος. τὴν δ' ἀπηνῆ καὶ ἀπηγριωμένην τῆς ἀφανοῦς δαιμόνων φύσεως, ἔργοις αὐτοῖς ἀπελέγχων, ὑπὸ τοῦ κρείττονος πάλαι νενικημένην. ὁ μὲν γὰρ κοινὸς τῶν ὅλων σωτὴρ, τοὺς ἀφανεῖς

C ἀφανῶς ἠμύνατο. ὁ δ' οἷα μεγάλου βασιλέως ὕπαρχος, τοῖς νενικημένοις ἐπεξῄει, τοὺς πάλαι νεκροὺς καὶ ἀπολωλότας σκυλεύων, καὶ τὰ λάφυρα διανέμων ἀφθόνως τοῖς τοῦ νικητοῦ στρατιώταις. Ἐπειδὴ γὰρ συνεῖδε μάτην δειμαίνοντα νηπίων δίκην ἄφρονα πλήθη, τῆς πλάνης τὰ μορμολύκεια, ὕλης χρυσοῦ καὶ ἀργύρου πεποιημένα, καὶ ταῦτα ἐκποδὼν ᾤετο δεῖν αἴρειν, ὥσπερ τινὰ λίθων ἐγκόμματα, τοῖς ἐν σκότῳ βαδίζουσι πρὸ

D τῶν ποδῶν ἐρριμμένα, λείαν τε καὶ ὁμαλὴν τοῦ λοιποῦ τὴν βασιλικὴν τοῖς πᾶσιν ἀναπετάσαι πορείαν· ταῦτ' οὖν διανοηθεὶς, οὐχ ὁπλιτῶν αὐτῷ καὶ πλήθους στρατοπεδίας ἡγήσατο δεῖν πρὸς τὸν τούτων ἔλεγχον. εἷς μόνος αὐτῷ καὶ δεύτερος τῶν αὐτοῦ γνωρίμων, πρὸς τὴν ὑπηρεσίαν ἀπήρκει, ἑνὶ νεύματι, κατὰ πᾶν ἔθνος διεπέμπετο. οἳ δ' εὐσεβείας πίστει μυριάνδρων δήμων τε καὶ λαῶν μέσον παριόντες, ἀνὰ πάσας πόλεις τε καὶ χώρας, πολυχρονίου πλάνης [illegible]ξαν. αὐτοὺς τοὺς ἱερωμένους σὺν πολλῷ γέ[illegible]

καὶ σὺν αἰσχύνῃ παράγειν εἰς φῶς ἐκ σκοτίων μυχῶν τοὺς αὐτῶν Θεοὺς, παρακελευόμενοι κἄπειτα ἀπογυμνοῦντες τοῦ φάσματος, καὶ τὴν εἴσω τῆς ἐπικεχρωσμένης μορφῆς ἀμορφίαν τοῖς πάντων ὀφθαλμοῖς ἐνδεικνύμενοι. εἶτ' ἀποξέοντες τὸ δοκοῦν χρήσιμον τῆς ὕλης, χωνείᾳ τε καὶ πυρὶ δοκιμάζοντες, τὸ μὲν λυσιτελὲς καὶ ὅσον αὐτοῖς ἀναγκαῖον ἐνομίζετο, ἐν ἀσφαλεῖ τιθέμενοι, συνεῖχον. τὸ δ' ἄλλως περιττὸν καὶ ἄχρηστον, εἰς μνήμην αἰσχύνης παρεχώρουν τοῖς δεισιδαίμοσιν. οἷον δὲ καὶ τόδ' ἔρεξε βασιλεὺς ὁ θαυμάσιος· ὡς γὰρ καὶ τῶν νεκρῶν εἰδώλων τὰ τῆς πολυτελοῦς ὕλης τὸν ἀποδοθέντα τρόπον ἐσκυλεύετο, τὰ λοιπὰ μετῄει ἀνδρείκελα χαλκοῦ πεποιημένα· δέσμιοι δῆτα καὶ οἵγε μύθων Θεοὶ γεγηρακότων, τριχῶν ὑφάσμασιν ἤγοντο περιβληθέντες· κἀπὶ τούτοις ὁ μέγας βασιλεὺς ὥσπερ τινὰ πολυφεγγῆ πυρσὸν ἐξάψας, μή πη λανθάνοι κρύφιόν τι πλάνης λείψανον, ὄμματι βασιλικῷ περιεσκόπει· οἷα δέ τις οὐρανοπετὴς ἀετῶν ὀξυωπέστατος, ἄνωθεν ἀφ' ὑψηλοῦ τὰ πορρωτάτω διεωρᾶτο κατὰ γῆς ἴδοι, ὧδε καὶ αὐτὸς τῆς αὐτοῦ καλλιπόλεως τὴν βασιλικὴν ἀμφιπολεύων ἑστίαν, δεινόν τι ψυχῶν θήρατρον ἐπὶ τοῦ Φοινίκων λανθάνον ἔθνους, ἐξ ἀπόπτου συνεῖδεν· ἄλσος δὲ τοῦτ' ἦν καὶ τέμενος. οὐκ ἐν μέσαις πόλεσιν, οὐδ' ἐν ἀγοραῖς καὶ πλατείαις, ὁποῖα τὰ πολλὰ κόσμου χάριν ταῖς πόλεσι φιλοτιμεῖται. τὸ δ' ἦν ἔξω πάτου τριόδων τε καὶ λεωφόρων, αἰσχρῷ δαίμονι Ἀφροδίτης, ἐπ' ἀκρωρείας μέρει τοῦ Λιβάνου καθιδρυμένον· σχολή τις ἦν αὕτη κακοεργίας ἅπασιν ἀκολάστοις. πολλῇ τε ῥαστώνῃ διεφθορόσι τὰ σώματα. γύννιδες γοῦν τινες ἄνδρες, οὐκ ἄνδρες. τὸ σεμνὸν τῆς φύσεως ἀπαρνησάμενοι, θηλείᾳ νόσῳ τὴν δαίμονα ἱλεοῦντο. γυναικῶν τε αὖ παράνομοι ὁμιλίαι, κλεψίγαμοί τε φθοραὶ, ἄρρητοί τε καὶ ἐπίρρητοι πράξεις, ὡς ἐν ἀνόμῳ καὶ ἀποστάτῃ χώρῳ κατὰ τόνδε τὸν νεὼν ἐπεχείρουν· ἔφορός τε οὐδεὶς ἦν τῶν πραττομένων, τῷ μηδένα σεμνῶν αὐτόθι τολμᾶν παριέναι· ἀλλ' οὐχὶ καὶ βασιλέα τὸν μέγαν ἦν τὰ τῇδε δρώμενα λανθάνειν· αὐτοπτήσας δ' ταῦτα βασιλικῇ προμηθείᾳ, οὐκ ἄξιον εἶναι ἡλίου αὐγῆς τὸν τοιόνδε νεὼν ἐκρί-

A recessibus Deos suos proferre jubebant. Dehinc eosdem Deos exteriore cultu nudantes, interiorem deformitatē quæ sub pictâ latebat effigie, omnium conspectui subjiciebant. Postremò abrasâ utiliore materia, & in ignem conjecta atq; conflata, ipsi quidem id quod commodum ac necessarium esse videbatur, sepositum reservabant. Quidquid verò superfluū ac prorsus inutile erat, ad perpetuam opprobrii memoriam superstitiosis reliquerūt. Aliud quid etiam huic simile præstitit Princeps omni admira-
B tione dignus. Eodē enim tempore quo mortuorum simulacra ex pretiosâ materiâ confecta, eo quem diximus modo spoliabantur, cetera quę ex ære fabrefacta erant, convehenda curavit. Itaq; Dii illi anilibus gręcorum fabulis celebrati, circumiectis restib° vincti abducebantur. Posthæc Imperator velut splendidissimam facem ex specula quadam attollens, undiq; regalibus oculis circumspicere cœpit, sicubi abditę adhuc erroris reliquię superessent. Ac velut aquila quædam acutissimo visu prædita, cùm pennis in cælū usq; subvecta est, ea quæ in terris sunt longissimo intervallo distantia, ex sublimi facillimè dispicit: sic
C ille, dum in pulcherrimę urbis suæ palatio versatur, exitialem quandam animarum decipulam in Phœnice latêre, tanquā è specula prospexit. Lucus hic erat ac delubrum, quod non in media urbe, nec in foro aut plateis positum erat, cujusmodi multa visuntur in civitatibus, ornamenti causâ ambitiosè constructa: sed devium, procul à triviis & publico calle, fœdissimo dæmoni quē Venerem appellant, in parte verticis Libani montis consecratum. Erat illic schola quędā nequitiæ, omnibus obscœnis hominib°
D & qui corpus suum omni licentia corruperant, aperta. Quippe effeminati quidā, & feminę potius dicendi quàm viri, sexus sui gravitate abdicatâ, muliebria patientes, dæmonem placabant. Adhęc illegitimi cōcubitus & adulteria, fœdáque & nefaria flagitia eo in templo, tanquā in loco ob omni lege ac rectore vacuo, peragebantur. Nec quisquam erat, qui ea quę illic gerebantur observaret; propterea quòd nemo vir gravis ac modestus eò accedere audebat. At nō etiam Imperatorem maximū latêre potuerūt quæ ibi perpetrabantur scelera. Sed cū imperialis providētiæ oculo ea ipsemet inspexisset, hujusmodi templum indignum censuit quod Solis radiis illustra-

retur. Proinde illud unà cum simulacris ac donariis, totum funditus everti jussit. Confestim igitur lascivi erroris machinamenta, Imperatoris præcepto dissipata sunt; militibus ad purgandum locum operam suam præbentibus. Et qui lasciviæ hactenus dediti fuerant; Imperatoris minis perterriti, modestè se gerere didicerunt. Hunc in modum Imperator cùm larvas & integumenta nequitiæ quæ vulgi animos seducebat, omnium oculis subjecisset, Servatorem suum coram universis prædicavit. Nec fuit quisquam, qui convictis ac deprehensis subveniret; non dæmon aut Deus; non vates aut hariolus. Neque enim hominum mentes, in profunda caligine amplius volutabantur: sed veræ pietatis radiis illustratæ, majorum suorum ignorantiam condemnabant, eorumque cæcitatem miserebantur; seq; ipsas beatas judicabant, quæ gravissimo errore liberatæ essent. Ad hunc modum Dei optimi nutu, & Imperatoris operâ, universum hostiū genus tam aspectabilium, quàm eorum qui oculorum aciem effugiunt, brevi temporis spatio deletum est: ac deinceps pax optima juventutis educatrix, orbem terrarum occupavit. Nec bella amplius erant, cùm uti q; nec Dii essent. Sed neq; pugnæ per agros perque urbes exstiterunt, sicut antea, cùm dæmonum cultus vigeret. nec amplius inter homines cruor passim fundi visus, ut antea, cùm impiæ superstitionis invaluisset furor.

Cap. IX. Opportunum nunc tempus est, ut recentia cum veteribus comparemus, & rerum in melius factam mutationem ex collatione deteriorum intueamur; videamusq; quo pacto olim quidem vestibula, delubra, luci ac templa, in singulis urbibus ambitiosè erant ipsis exstructa, & plurimis donariis exornata. Ac tyranni quidem qui tunc temporis dominabantur, Deos maximo in pretio & honore habebant. Gentes quoque & populi in agris atque in locis omnibus, in privatis etiam domibus, in penariis scilicet cellis ac thalamis, statuis eos ac signis juxta patrios ritus honorabant. Fructus autem pietatis illis contigit, non illa quam nunc oculis cernim⁹ pax; sed omnia prorsus contraria: bella nimirum, pugnæ & seditiones; quibus toto vitæ suæ spatio divexati, sanguine atque intestinis cædibus regiones suas compleverunt. Dii porrò qui ab ipsis colebantur, vaticinia quidem & oracula, & rerum futurarum præscien-

A νεν. αὐτοῖς δ' ἀφιερώμασιν, ἐκ βάθρων τὸν ναὸν ἀφανισθῆναι κελεύει. ἐλύετο δῆτα αὐτίκα βασιλικῷ νεύματι, τὰ τῆς ἀκολάστου πλάνης μηχανήματα. χείρ τε στρατιωτικὴ, τῷ τόπου καθαρσίῳ διηκονεῖτο. σωφρονεῖν δ' ἔμαθον ἀπειλῇ βασιλέως, οἱ μέχρι τοῦδε ἀκόλαστοι. ἀλλὰ γὰρ ὧδε καὶ τὰ τῆς λοιπῆς ἀπάτης φάσματα κακίας ἐμφανῆ τοῖς πᾶσι καταστησάμενος βασιλεὺς, τὸν αὐτοῦ σωτῆρα τοῖς πᾶσιν ἀνεκήρυττεν· οὐκ ἦν τε ἀρωγὸς οὐδεὶς, οὐδ' ἐπαμύνων τοῖς ἑαλωκόσιν, οὐ δαίμων, οὐ Θεός. οὐ χρησμῳδός. οὐ μάντις· οὐ γὰρ
B ἔτι σκοτίῳ ζόφῳ αἱ τῶν ἀνθρώπων ἐκαλύπτοντο ψυχαί. θεοσεβείας δ' ἀπαυγαῖς ἀκτῖσι πεφωτισμέναι, τοῖς μὲν αὐτῶν προπάτορσι κατεμέμφοντο ἀγνωσίαν, ἠλέουν τε αὐτοὺς τῆς ἀβλεψίας. σφᾶς δ' αὐτὰς μακαρίας ἀπέφαινον, ὡς ἂν δεινῆς ἠλευθερωμένας πλάνης. οὕτω δῆτα ἐν βραχεῖ, Θεοῦ μεγάλου βουλῇ, βασιλέως τε ὑπουργίᾳ, πᾶν τὸ τῶν ἐχθρῶν καὶ πολεμίων, ὁρωμένων τε καὶ ἀφανῶν, ἀνῄρητο γένος. εἰρήνη τε λοιπὸν ἀγαθὴ καὶ κουροτρόφος, τὸ πάντων ἀνθρώπων διελάμ-
C βανεν οἰκητήριον· καὶ οὐκέτ' ἦσαν πόλεμοι, ἐπεὶ μηδ' ἦσαν Θεοί. ἀλλ' οὐδὲ μάχαι κατ' ἀγροὺς καὶ κατὰ πόλεις, οἷαι τὸ πρίν, ὅτε τὰ δαιμόνων ἐπήνθει. καὶ οὐκέθ' αἱμάτων παρ' ἀνθρώποις ἐκχύσεις, ὡς ὅτε τὰ τῆς πολυθέου μανίας ἤκμαζεν. Ὥρα δ' οὖν τὰ νέα τοῖς παλαιοῖς ἀντιπαραβάλλειν, καὶ τὴν ἐπὶ τὰ κρείττω τροπὴν ἐκ τῆς τῶν χειρόνων ἀντιπαραθέσεως ἐπισκοπεῖν. διακρίνειν τε καὶ συνορᾶν, ὡς πάλαι μὲν πρόπυλα καὶ τεμένη, ἄλση τε καὶ ἱερὰ κατὰ πᾶσαν πόλιν αὐτοῖς φιλοπόνως ἐξήσκητο, ἀναθήμασί τε πάνυ πολλοῖς ἐστεφάνωντο
D ναοί. καὶ Θεῶν μὲν πολὺς ἦν ὁ παρὰ τοῖς τότε τυράννοις λόγος. ἔθνη τε καὶ δῆμοι κατ' ἀγροὺς καὶ πάντα τόπον, ἤδη τε κατ' οἴκους ἐν αὐτῶν αὐτοῖς ταμείοις τε καὶ θαλάμοις ξοάνοις καὶ ἀγάλμασιν ἐτίμων τὰ πάτρια. τῆς εὐσεβείας αὐτοῖς ὁ καρπός, οὐ τὰ νῦν ὀφθαλμοῖς ὁρώμενα τῆς πρὸς ἀλλήλους ὑπῆρχεν εἰρήνης· πάντα δὲ τἀναντία τούτοις, πόλεμοι, καὶ μάχαι, καὶ στάσεις· αἷς διὰ παντὸς τοῦ βίου κατατριβόμενοι, αἵμασι καὶ φόνοις ἐμφυλίοις τὰς ἑαυτῶν ἐπλήρουν χώρας· οἱ δέ γ' αὖ πρὸς αὐτῶν τιμώμενοι, μαντείαν μὲν καὶ χρησμ-